# 17 FEBRUARIE
# +IOIL FRAGKAKOS AL EDESEI

# PARACLISUL SF.MUCENIC TEODOR BIZANTINUL DE LA MITILENE-LESBOS



## PARACLISIERUL PE FEBRUARIE-GR


IC
XC

# 17 ΦΕΒΡΟΥΑΡΙΟΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΜΥΤΙΛΗΝΑΙΟΥ, ΤΟΥ ΧΑΤΖΗ

## Ποίημα τοῦ Σεβασμιωτάτου Μητροπολίτου Ἐδέσσης, Πέλλης καὶ Ἀλμωπίας Ἰωήλ

**Εὐλογήσαντος τοῦ ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὰ ἑξῆς τροπάρια.**

**Ἦχος δ΄ Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τὸν ὑπερθαύμαστον Χριστοῦ
ἀθλοφόρον,
καὶ Ἐκκλησίας νεομάρτυρα θεῖον,
ὑμνολογοῦντες εἴπωμεν,
ἐκ βάθους ψυχῆς,
ἅγιε Θεόδωρε,
Μυτιλήνης τὸ κλέος,
ταῖς λιταῖς σου φύλαττε,
ἐκ παγίδων βελίαρ,
τοὺς ἐκζητοῦντας δύναμιν τὴν σήν,
καὶ προστασίαν,
ἐν βίῳ πανόλβιε.

**Δόξα. Τὸ αὐτό.**
**Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε,
τᾶς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τὶς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κίνδυνων;
Τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

**Ο Ν΄ Ψαλμὸς καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.**
**«Νεομάρτυς Θεόδωρε νῦν φύλαξον με. Ἰωήλ»**

## Ὠδὴ α' Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Νοΐ καὶ τῇ γλώττῃ ἐπιθυμῶ,
ὁμοῦ καὶ καρδίᾳ,
ἀνυμνῆσαι ἱκετικῶς,
Θεόδωρον μάρτυρα Κυρίου,
ὡς ἂν πρεσβείαις αὐτοῦ σκεπασθήσομαι.

Ἑπόμενος μάρτυς τοῖς παλαιοῖς,
Θεόδωρε ὄντως,
πρὸ βημάτων δικαστικῶν,
Χριστὸν ὡμολόγησας θεόφρον,
ὃν ὑπὲρ πάντων ἀνθρώπων ἱκέτευε.

Ὀθνείαν ἀλλοίωσιν ἀθλητά,
ἀπέπτυσας τάχει,
τῆς ἀρνήσεως τοῦ Χριστοῦ,
διὸ καὶ ἡμᾶς ταῖς σαῖς πρεσβείαις,
τοὺς χλιαροὺς ἀναθέρμανον ἅγιε.

### Θεοτοκίον.

Μαρία τὸ ὄνομα τὸ γλυκύ,
ὁμοῦ καὶ τὸ πρᾶγμα,
μὴ παρίδῃς εὐχετικῶς,
φυλάττουσα πάντας τοὺς σοὺς δούλους,
ἀπὸ παντοίας τοῦ βίου στενώσεως.

## Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἀσθενείας ποικίλας,
καὶ ψυχικὸν τάραχον,
ταῖς ἱκετηρίαις σου μάκαρ,
ἡμῶν θεράπευσον,

καὶ πρὸς τὰ ἄνω τὸν νοῦν,
καὶ τὴν καρδίαν ὁδήγει,
τῶν μακαριζόντων σε,
μάρτυς Θεόδωρε.

Ραπισθείς ὑπὸ πλάνου,
καὶ πονηροῦ δαίμονος,
πίστιν ἀπηρνήσω θεόφρον,
τὴν ἀληθεύουσαν,
ἀλλ' ὑπέρ ταύτης λαμπρῶς,
μετ' οὐ πολὺ ἠγωνίσω,
ἣν ἐν τῇ καρδίᾳ μου,
αὔξανε ἅγιε.

Τὴν ἀχλὺν ἀκηδίας,
ἐκ τῆς ψυχῆς ἔπαρον,
τῶν ἱκετευόντων σὲ μάρτυς,
Χριστοῦ Θεόδωρε,
καὶ τὴν ἐγρήγορσιν δός,
αὐτοῖς λιταῖς σου ἁγίαις,
ὅπως διανύσωσι,
τρίβον τὴν εὔθετον.

Ὑπερβάς θελημάτων,
τῶν τοῦ Χριστοῦ Πάναγνε,
ἔπεσον ἐν λάκκῳ πταισμάτων,
πολλῶν ὁ δείλαιος,
διό ὁδήγησον,
καμὲ πρεσβείαις σου μῆτερ,
ὡς ἂν τὰ σωτήρια,
πράξω ἐντάλματα.

Διάσωσον,
τροπαιοφόρε Θεόδωρε μάρτυς θεῖε,

ἐκ κινδύνων πολυειδῶν καὶ στενώσεων,
τοὺς ἐκζητοῦντας ἐνθέως,
τὴν σὴν προστασίαν.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

## Αἴτησις καὶ το κάθισμα.

**Ἦχος β᾽. Πρεσβεία θερμή.**

Τῷ ὄρει ποτέ,
τοῦ Ἄθωνος προσέδραμες,
εὑρεῖν τῆς ψυχῆς,
τὴν ἀληθῆ εἰρήνευσιν,
τὸν μῶμον ἀποπτυσάμενος,
τῆς Χριστοῦ ἀπαρνήσεως,
διὸ μὴ παραλίπης καὶ ἡμῶν,
στηρίζων εὐχαῖς πίστιν Θεόδωρε.

**Ὠδὴ δ᾽. Εἰσακήκοα Κύριε.**

Στεναγμῶν μου τῶν ἔνδοθεν,
κόπασον τὸ ρεῦμα,
μάρτυς Θεόδωρε,
καὶ χορήγει ταῖς πρεσβείαις σου,
βίον γαληναῖον καὶ θεάρεστον.

Θεωρὸς ὤν ἐλλάμψεων,
μάρτυς ἀπορρήτων,
καὶ καταστάσεων,
ἐκ τοῦ λάκκου μὲ ἀνάγαγε,

τῶν ἀμπλακημάτων τῇ δυνάμει σου.

Ἐπαισχύνομαι ἅγιε,
διά τὸν ἄχρι τοῦδε,
τοῦ χρόνου βίον μου,
ἀλλὰ πρόφθασον πρεσβείαις σου,
καὶ παράσχου χεῖρα βοηθείας μοί.

**Θεοτοκίον.**

Ὁλοτρόπως Πανάχραντε,
ὄντως ἐμολύνθην ταῖς παραβάσεσι,
ἐντολῶν τοῦ θείου τόκου σου,
ὅθεν με λιταῖς σου ἀποκάθαρον.

**Ὠδὴ ε'. Φώτισον ἡμᾶς.**

Δεῦτε οἱ πιστοί,
ἐν τῇ Λέσβῳ ἱκετεύσωμεν,
τὸν Θεόδωρον χατζῆν τὸν ἀθλητήν,
ἐξαιτούμενοι αὐτοῦ θάρσος καὶ δύναμιν.

Ὤφθησαν ἡμῖν,
τὰ σὰ λείψανα Θεόδωρε,
ὥσπερ πλοῦτος οὐρανίων δωρεῶν,
ὃν μὴ παύσῃ διανέμων τοῖς τιμῶσί σε.

Ῥείθροις μυστικοῖς,
στεφανῖτα καταδρόσισον,
τοὺς ἐν θλίψεσι πεσόντας χαλεπαῖς,
καὶ πυρί φλογιζομένους περιστάσεων.

**Θεοτοκίον.**

Ἔπαρον ἁγνή,
τάς σάς χεῖρας καὶ ἱκέτευσον,
τὸν Υἱόν σου καὶ Δεσπότην τοῦ παντός,
ὑπὲρ πάντων τῶν ὑμνούντων τὸ σὸν ὄνομα.

**Ὠδὴ στ'. Τὴν δέησιν.**

Φρυάγματα,
ὡσεὶ χνοῦν ἐκλέπτυνον,
τοῦ ἐχθροῦ τὰ κατ' ἐμοῦ κινηθέντα,
καὶ ταῖς πρεσβείαις σου χάρισαι μάρτυς,
τῆς ταπεινώσεως δῶρον Θεόδωρε,
ὡς ἂν νικήσω εὐχερῶς,
τὸν ὑπερήφανον ὄφιν πανεύφημε.

Ὑπότροπος,
ἀθλητὰ γεγένημαι,
ἐν παγίσι τοῦ ἐχθροῦ καταπέσας,
καὶ συντριβείς ἁμαρτίας τῷ βέλει,
ἀδυνατῶ ἀνακύψαι Θεόδωρε,
διὸ τῇ ῥώμῃ σου καμοί,
παραστάτης Θεόδωρε φάνηθι.

Λιμώττουσαν,
τὴν ψυχήν μου ψώμισον,
τῶν ἁγίων πρεσβειῶν σου σιτίας,
καὶ τῷ χειμάρρῳ χαρίτων σου ταύτην,
τῆς Μυτιλήνης Θεόδωρε ἄρδευσον,
σὺ γὰρ ἐκτήσω ἀληθῶς,
πρὸς Θεὸν παρρησίαν καὶ δύναμιν.

**Θεοτοκίον.**

Ἀνύμφευτε,
Μαριὰμ Πανάχραντε,
ὀλισθήσασαν εἰς βάθη κακίας,
ἐμὴν καρδίαν ἀνάσυρον τάχει,
ταῖς πρὸς τὸν Πλάστην πυκναῖς ἱκεσίαις σου,
σὺ γὰρ τὸ γένος τῶν βροτῶν,
τῇ λοχείᾳ σου μῆτερ ἀνέπλασας.

Διάσωσον,
τροπαιοφόρε Θεόδωρε μάρτυς θεῖε,
ἐκ κινδύνων πολυειδῶν καὶ στενώσεων,
τοὺς ἐκζητοῦντας ἐνθέως,
τὴν σὴν προστασίαν.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπήν του σώματος κάκωσιν,
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κοντάκιον.**
**Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.**

Ὁμολογίαις λαμπραῖς διεκήρυξας,
τῆς Ἐκκλησίας τὰ ἅγια δόγματα,
ἐν Μυτιλήνῃ Θεόδωρε ἅγιε,
καθυπομείνας ἀνδρείως τὰ βάσανα,
διό σου τὴν μνήμην γεραίρομεν.

**Προκείμενον**
**Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.**
**Στίχ. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.**

**Εὐαγγέλιον τὸ ἓν τῷ Ὄρθρῳ τοῦ ἁγίου Γεωργίου.**

**Δόξα. Ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.**
**Στίχ. Ἐλέησον με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.**

**Προσόμοιον.**
**Ἦχος πλ. β'. Ὅλην ἀποθεμένοι.**

Ἅγιε Θεόδωρε,
τῆς Μυτιλήνης ἡ δόξα,
Ἐκκλησίας στόλισμα,
καὶ μαρτύρων νέων τὸ ἐγκαλλώπισμα,
πρὸς Θεὸν πάντοτε,
πρεσβείαις σου αἴτει,
τῆς ψυχῆς ἡμῶν τὸ εὔτονον,
καὶ τὴν εἰρήνευσιν,
ἐκ τῶν πειρασμῶν τοῦ ἀλάστορος,
ὁμοῦ δὲ καὶ τοῦ σώματος,
μάκαρ τὴν ὑγείαν καὶ εὔκλειαν,
σύ γὰρ ἐπ' ἐσχάτων,
τὸ στέφος ἐκομίσω ἀθλητῶν,
καὶ παρρησίαν πανεύφημε,
πρὸς τὸν ὑπεράγαθον.

**Σῶσον ὁ Θεὸς τὸν λαόν σου.**
**Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ξηρασίαν νοός μου,
ἐκ τοῦ πλήθους πταισμάτων καὶ ἁμαρτάδων δεινῶν,

τῇ δρόσῳ πρεσβειῶν σου,
Θεόδωρε παμμάκαρ,
εἰς ζωὴν μεταποίησον,
ἵνα τιμῶμεν ἀεί,
τὴν ἔνδοξόν σου μνήμην.

Ὁ ἐχθρὸς με πειράζει,
λογισμοῖς τῆς πορνείας καὶ ἀκρασίας ὁμοῦ,
διὸ τὴν ἀρωγήν σου,
Θεόδωρε αἰτοῦμαι,
ὅπως εὕρω διέξοδον,
ἐκ τῶν ἀφύκτων δεσμῶν,
βελίαρ τοῦ ἀρχαίου.

Νυσταγμὸν ἀμελείας,
ἀκηδίας τὸν τρόπον,
καὶ ἀκοσμίαν νοός,
σαρκὸς ἐπαναστάσεις,
καὶ πᾶσαν ἀρρωστίαν,
τῆς ψυχῆς καὶ τοῦ σώματος,
Θεόδωρε ἀφ' ἡμῶν,
κατάργησον ταχέως.

**Θεοτοκίον.**

Μητροπάρθενε κόρη,
ἡ ἐντός σου δεχθεῖσα τὸν ποιητὴν τοῦ παντός,
χαρίτωσον λιταῖς σου,
ἡμᾶς τοὺς ὀρθοδόξους,
τοὺς πιστῶς ἀνυμνοῦντας σε,
καὶ ἐγκαρδίως ἁγνή,
τιμῶντας τὸν Υἱόν σου.

## Ὠδὴ η'. Τὸν Βασιλέα.

Ἐν σοί καυχᾶται,
τῆς Βαρειᾶς ἐνορία,
καὶ αἰτεῖται νεομάρτυς ἡ χορεία,
τῶν πιστῶν ἀνθρώπων,
τὴν σὴν ἐπιστασίαν.

Νῦν πρὸ λειψάνων,
καὶ τῆς εἰκόνος σου μάρτυς,
τάς ἱκέτιδας ὑψοῦμεν πάντες χεῖρας,
ἵνα ἐκ παντοίων,
κίνδυνων λυτρωθῶμεν.

Χαρὰν παράσχου,
ταῖς σαῖς ἁγίαις πρεσβείαις,
τοῖς πενθοῦσιν ἐκ δεινῶν πολλῶν θεόφρον,
καὶ ἐπιζητοῦσι,
τὴν σὴν παρηγορίαν.

### Θεοτοκίον.

Νυκτί Παρθένε,
ἐκ τῶν πολλῶν πειρασμῶν μου,
νῦν καλύπτομαι ἀντιβολῶν ὁ τάλας,
φέγγει πρεσβειῶν σου,
καταύγασον με μῆτερ.

## Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ἰξῷ τοῦ πτερνοσκόπου,
μάρτυς συνελήφθην,
ἐν τῇ παγίδι ἀνόμων μου πράξεων,
διὸ πρὸς σὲ καταφεύγω,

κλεινὲ Θεόδωρε.

Ὡς ἔχων παρρησίαν,
νέων τὴν χορείαν,
μὴ διαλίπης ἀεὶ τῇ δυνάμει σου,
περιφρουρῶν νεομάρτυς,
Χριστοῦ Θεόδωρε.

Ἡ νῆσος μάρτυς Λέσβος,
ὡς καὶ πᾶσα κώμη,
πρὸ τῆς σοροῦ τῶν ὀστῶν σου Θεόδωρε,
καθικετεύει ἐνθέως,
τὴν θείαν χάριν σου.

**Θεοτοκίον.**

Λιμὴν τῶν κεκμηκότων,
καὶ παρηγορία,
τῶν ἀλγουμενων γενοῦ Θεονύμφευτε,
σὺ γὰρ ὑπάρχεις Παρθένε,
ἡμῶν τὸ στήριγμα.

**Τὸ Ἄξιόν ἐστι καὶ τὰ Μεγαλυνάρια.**

Χαίροις ἐνορίας τῆς Βαρειᾶς,
μάρτυς ὁ προστάτης,
καὶ θησαύρισμα ἱερόν,
χαίροις τὸ ταμεῖον,
τῶν ὑπὲρ νοῦν χαρίτων,
δι' ὧν καταπλουτίζεις,
ἡμᾶς Θεόδωρε.

Χαίροις ἀθλοφόρων τῶν παλαιῶν,
μάρτυς ὄντως ἴσος,

καὶ ὁμόγνωμος ἀληθῶς,
χαίροις καὶ τῶν νέων,
Χριστοῦ τροπαιοφόρων,
προσθήκη λαμπροτάτη,
σεμνὲ Θεόδωρε.

Τήρησον ἀτρώτους ἐκ τῶν βελῶν,
τοῦ δεινοῦ βελίαρ,
ἱκεσίαις σου ἱεραῖς,
τῶν πιστῶν τὰ πλήθη,
τὰ ἑστηκότα μάρτυς,
πρὸ τῶν σεπτῶν ὀστῶν σου,
καὶ σὲ γεραίροντα.

Ἅγιε Θεόδωρε ἀθλητά,
τοὺς νενοσηκότας,
καὶ ἀλγοῦντας νυχθημερόν,
ἐκ ποικίλων νόσων,
θεράπευσον εὐχαῖς σου,
παρέχων ἰατρείας,
τούτοις τὸ χάρισμα.

Ἔχων ἐν τοῖς στέρνοις σου τὸν Χριστόν,
μάρτυς ἐλευθέρως,
διεκήρυξας πανταχοῦ,
δόγματα τὰ θεῖα,
αὐτοῦ καὶ ἀληθείας,
καὶ ἀνεδείχθης πάντων,
σεμνὸν ὑπόδειγμα.

Μνήσθητι Θεόδωρε καὶ ἡμῶν,
τῶν ἐν κατανύξει,
καὶ ἐκ βάθους τῶν καρδιῶν,
ψαλλόντων σοι θεόφρον,

τοὺς ὕμνους ἱκεσίας,
καὶ αἰτουμένων πάντων,
τὴν σὴν βοήθειαν.

**Τὸ Τρισάγιον, Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς:**

**Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.**

Μάρτυς ἀθλοφόρε τοῦ Χριστοῦ,
πάσης Μυτιλήνης τὸ κλέος,
καὶ σεμνολόγημα,
Βαρειᾶς τὸ καύχημα,
καὶ ἡ βοήθεια,
ἀληθῶς ἀναδέδειξαι,
Θεόδωρε μάκαρ,
ὅθεν ἐκβοῶμεν σοι,
ταῖς ἱεραῖς σου λιταῖς,
πάσης ἐπήρειας δαιμόνων,
καὶ ἐξ ἀδοκήτων κινδύνων,
σῷζε τοὺς θερμῶς παρακαλοῦντὰς σε.

